UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Maximi Tyrii philosophumena

### Maximus

### Lipsiae, 1910

XXVII

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2966

Visual Library

# ΚΖ'

## XXVII (Duebn. XXXIII vulg. 17)

κζ' *Εἰ τέχνη ἡ ἀρετή.*

*Καὶ πῶς ἄν τις τοῦ φιλοσόφου ἀποδέξαιτο, ἄλλό τι* Ia
*τὴν ἀρετὴν λέγοντος εἶναι, καὶ μὴ τέχνην; σχολῇ γὰρ*
*ἂν εἴη τέχνη τὶ ἄλλο, εἴπερ μὴ ἡ ἀρετή· πλὴν εἰ μὴ* b
*ἄροτρον μὲν τέχνης ἔργον, καὶ ἀσπὶς τέχνης, καὶ ναῦς,*
*καὶ τειχίον· τὸ δὲ τούτοις χρώμενον καὶ ἐπιστατοῦν*
*καὶ παρέχον τὴν ἑκάστου χρείαν ἅπαντα τῷ ἔχοντι εἰς*
*δέον, καὶ τὴν ἐξ ἁπάντων ὠφέλειαν συντάτ‖τον εἰς* Ed. Duebn. p. 131
*κοινὸν τέλος, τοῦτο δή που ἀτεχνίαν φήσομεν. Δει-* c
*νόν γε, ὦ θεοί, καὶ δεινοῦ πέρα, εἰ ὁ μὲν κεραμεὺς*
*ἐπὶ τέχνῃ μανθάνει, καὶ ὁ σκυτοτόμος, καὶ ὁ τέκτων·*
*ὁ δὲ φιλόσοφος μανθάνει μέν, καὶ τὸ τέλος αὐτῷ ἡ*
*ἀρετὴ ἔχει, ἔστι δὲ τοῦτο οὐ τέχνη, ἀλλά τι μάθημα*
*ὑπὸ ἀτεχνίας διδασκόμενον.*

115a *Καλῶς· ἔχε ἀτρέμας· οὐ γὰρ | ἀτόπως ὑφηγῇ οὐδὲ* IIa
*ἀτεχνῶς, μὰ Δία. Ἐγὼ δέ σου τὴν μὲν τέχνην ἐπ-*

---

8 *τὸ . . τούτοις χρώμενον* spectat *τὴν χρηστικὴν τέχνην* cf. Diog. Laert. III 100 ‖ **11. 12** *δεινόν γε* sq. vi. simil. or. 3. 1 a ubi isdem fere exemplis utitur ‖ **17** *ἔχε ἀτρέμας* ut or. 11. 2 a

---

Codices RMNα (= Stephanus) φ (= Paccius); H (teste Davisio)

---

5 *σχολῇ* — 6 *ἀρετή* n

---

1 (et 3 in mge) *ΚΖ'* (κζ') R! ‖ **3** *εἰ τέχνη ἡ ἀρετή* RN add. *λόγος ιζ φα τοῦ αὐτοῦ εἰ* sq. M ‖ **5** *σχολὴ* Rn ‖ **9** *ἑκάστῳ* Δ° corr. Reiske | *ἅπαντι* α(δΔ) ‖ **10** *ὠφελίαν* R ‖ **11** *που ⟨τὴν⟩ ἀτεχνίαν* nescio unde Δ ‖ **12** *δεινοῦ* (*ει* in ras.) R! ‖ **14** *τὸ* (ante *τέλος*) om. Mα(δ) ‖ **15** *ἔχοι* Duk. ‖ **17** *ἀτρέμας* (*μας* in ras.) R! ‖ **18** *ἀτέχνως* ς(δΔ) sed *οὐδὲ* (i. e. ne quidem) *ἀτεχνῶς* = 'ganz und gar nicht'

αινῶ, τὸ δὲ κεφάλαιον αὐτῆς φέρε ἴδω τί καὶ λέγεις.
b Κεραμεύς, φής, κεραμεύειν μανθάνει τέχνῃ, καὶ σκυ-
c τοτόμος σκυτοτομεῖν, καὶ τεκταίνειν τέκτων. Ἐγὼ δ' εἴ σοι ταυτὶ μὲν δίδωμι, μανθάνειν ἕκαστον τῶν δημιουργῶν, ἃ μανθάνει δρᾶν, κἂν τέχνῃ· τῆς δὲ τέχνης ἑκάστης οὐκ εἶναι τέλος τὸ μαθεῖν τὴν τέχνην παρ'
d ἄλλου ἄλλον. Τὴν μὲν γὰρ διαδοχὴν τοῦ εἰδέναι μαθήσει ποιεῖ· ἡ δὲ χρεία τῶν τεχνῶν, οὐχ ὑπὸ τέχνης γενέσθαι τέχνην, ἀλλ' ὑπὸ μὲν κεραμέως ἀμφορέα, ὑπὸ δὲ αὐλητοῦ αὔλημα, ὑπὸ δὲ στρατηγοῦ νίκην, τούτων δὲ ἕκαστον ἄλλό τι παρὰ τὴν τέχνην, τέχνης
e τέλος, καὶ οὐ τέχνη· οὐ γάρ ὅ, τι μὴ τέχνη, καὶ ἀτεχνία εὐθύς. Ἀτεχνία μὲν γὰρ ἀφαίρεσις τέχνης, ἔνθα δεῖ τέχνης· οὐ τέχνη δέ, τὸ ὑπὸ τέχνης μὲν γεγονός, ἕτερον δὲ ὂν παρὰ τὴν τέχνην.

IIIa Ἆρ' ἡγεῖ με σαφῶς λέγειν, ἢ φραστέον σοι οὑτωσὶ ἐνδηλότερον; Καλεῖς τινα τέχνην ἰατρικήν, καὶ ἄλλην αὖ ἀγαλματουργικήν; τέλος δὲ ἑκατέρας, οὔτε ἰατρικῆς ἰατρική, οὔτε ἀγαλματουργικῆς ἀγαλματουργία, ἀλλὰ
b ἄγαλμα μὲν ἀγαλματουργίας, ὑγίειαν δὲ ἰατρικῆς; τί

6 *τέλος* sq. cf. Epict. diss. I 1. 2 *ἡ γραμματικὴ . . κέκτηται τὸ θεωρητικὸν μέχρι τοῦ διαγνῶναι τὰ γράμματα* ‖ **7. 8** *μαθήσει* quippe quae sit *ἀνάμνησις* vi. or. 10. 6 a ‖ **13** *ἀτεχνία* sq. cf. Stob. ecl. II 58 ‖ **17** *ἰατρικήν . . ἀγαλματουργικήν* sq. sollemnia huius rei exempla vi. or. 15. 6 a; etiam or. 37. 7 e cf. Muson. (Hense) 22. 7 Cicer. off. I 18. 60 Hierax ap. Stob. flor. 9. 58

**1** *λέγει* Markl. ‖ **3. 4** *δ' εἴ* Hob. *δὲ* codd. (*δΔ*) ‖ **5** *κἂν τέχνῃ* (scil. *μανθάνειν αὐτόν σοι δοίην*)] *καὶ τέχνῃ* Dav.² om. *α*(*ϑ*) *κατὰ τέχνην* Markl. *τέχνῃ* Duebn. ‖ **7. 8** *μάθησις* *α*(*δΔ*) sed *ποιεῖ* 'comparas' (a *ποιοῦμαι*) non 'comparat' intellegendum ‖ **8** *οὐκ ἀπὸ τέχνης* nescio unde *Δ*° ‖ **9** *τέχνην* (*χ* in ras.) R! ‖ **11** *ἑκάστων* Markl. *ἑκάστῳ* Dav.² (Duebn.) ‖ **12** *οὐ τέχνη* (*ν* in ras.) R! ‖ **13** *τέχνης* (*ης* in ras.) R! ‖ **17. 18** *καὶ ἄλλην αὖ ἀγαλματουργικήν* om. *φ* ‖ **19** *ἀλλὰ* (*λὰ* in ras.) R! ‖ **20** *ὑγίεια* *α*(*δΔ*) sed subaudiendum *καλεῖς τέλος*

οὖν; ἄλλό τι εἶναι ἡγεῖ τὴν ἀρετήν, ἢ ψυχῆς ὑγίειάν τε καὶ εὐσχημοσύνην; Οὑτωσὶ δὲ αὐτὸ σκέψαι· ψυχῇ [c] καὶ σώματι καὶ λίθῳ, τρισὶ τούτοις ἐπινείμας τέχνας τρεῖς, ὧν αἱ μὲν ὕλαι κόσμου ἐνδεεῖς, ἡ δὲ τέχνη, προσαγαγοῦσα ἑκάστης ἑκάστῳ τὸ οἰκεῖον σχῆμα, περιέβαλλεν τὸν μὲν λίθον ῥυθμοῖς καὶ σχήμασιν εἰς μορφῆς εἶδος, τὸ δὲ σῶμα ἁρμονίαις καὶ κράσεσιν εἰς ὑγιείας μέτρον, τὴν δὲ ψυχὴν συμμετρίαις καὶ εὐκινησίαις [115b] εἰς ἀρετῆς κόσμον. Κἂν | καλῇς τι τούτων τέχνην, [d] τὸ τοῦ δράσαντος ὄνομα τῷ ποιηθέντι ὑπὸ φιλίας προστιθείς, οὕτω μοι δοκεῖς καλεῖν, ὥσπερ ἂν εἰ καὶ ἥλιον καλεῖς τὴν ἐξ ἡλίου αὐγήν, ἑτέραν οὖσαν τοῦ ἡλίου, ποίημα ἡλίου, οὐκ αὐτὸ ἥλιον.

Καὶ μὲν δὴ καὶ ἀμφοτέρωθεν σκόπει τὸ λεγόμενον. [IVa] Ἐξετάζωμεν, τί μὲν τέχνη, τί δὲ ἀρετή. Τέχνην τοί-

---

**1** ἀρετὴν . . ψυχῆς ὑγίειαν sq. cf. Plat. republ. IV 444 d ἀρετὴ ὑγίειά τε τις ἂν εἴη καὶ κάλλος καὶ εὐεξία ψυχῆς Albin. 29 Apul. dogm. Plat. II 5 ‖ **3** τρισὶ τούτοις . . τέχνας τρεῖς sq. cf. Diog. Laert. VII 90 (ἀρετή) . . ἡ μέν τις κοινῶς παντὶ τελείωσις

---

**15** in mge τί τέχνη (schol. recent.) R! | in mge R! (schol. vet. u) N (verbis quattuor prioribus rubro col. scriptis)

ὁ κατὰ τέχνην λόγος

ὁ μὲν διὰ χειρουργίας ὑπομένοντός τινος ἐργαστικός· οἰκία· ναῦς | ὁ δὲ πράξεως οὐκ ἄνευ σώματος καὶ οὗτός τινος ἐργαστικός· νίκη· ὑγίεια· δίκαιον | ὁ δὲ λόγος μόνος ἄνευ σώματος ἐφ' ἑαυτοῦ κρατυνόμενος· γεωμετρία· ἀριθμητική

---

**4** ὕλαι Duebn. ‖ **5** ἑκάστης Hob. ἑκάστηι R! ἑκάστη cett. (δΔ) ‖ **5. 6** περιέβαλε α(δΔ) ‖ **6** σχήμασιν] κράσεσιν M ‖ **8** ὑγείας MN ‖ **8. 9** εὐκινησίαις ἀρετῆς (suprascr. εἰς) R! ‖ **10** ὑπὸ φιλίας] ὑπ' ἀφελείας Scaliger (Duebn.) ‖ **12** καλῇς ς(ϑ) καλοῖς (καλοίης in adn. crit.) Duebn. ‖ **13** ἡλίου, ποίημα om. α(δ) | ἡλίου ⟨καὶ⟩ οὐκ MNα(δ) | αὐτὸν α(δ)

α' νυν ἄλλό τι ἡγεῖ, ἢ λόγον ἐπὶ τέλος ἰόντα; τὸν μὲν
διὰ χειρουργίας σώματι ἀπεργαζόμενον, ὃ καλοῦμεν
ποίημα, ἢ οἷον οἰκίαν οἰκοδόμου, καὶ ναυπηγοῦ ναῦν,
β' b καὶ γραφέως εἰκόνα· τὸν δὲ αὖ πράξεώς τινος ἐργα-
στικόν, οὐκ ἄνευ σώματος ἀπεργαζόμενον, ἀλλ' ἐν μὲν
στρατηγίᾳ νίκην, ἐν δὲ ἰατρικῇ ὑγίειαν, ἐν δὲ πολι-
γ' τικῇ δικαιοσύνην· τρίτον δ' αὖ τεχνῶν εἶδος αὐτὸ
λόγον ἄνευ σωμάτων ἐφ' ἑαυτοῦ κρατυνόμενον, καὶ
περὶ αὐτὸν τὴν πραγματείαν ἔχοντα, ὁποῖαι τέχναι
γεωμετρικαὶ καὶ ἀριθμητικαί, καὶ ὅσαις τὸ τέλος δια-
νοητικόν, αὐτὸ τοῦτο, οὔτε δὴ πρακτικόν, οὐδὲ ποιη-
c Ed. Duebn. p. 132 τι|κόν. Εἶεν. Τριῶν τούτων τέχνης γενῶν, κατὰ
d ποῖον αὐτῶν τὴν ἀρετὴν τάξομεν, εἴπερ τέχνη; Κατὰ
τὸ ποιητικόν; οὐδὲ αὐτὸς φήσεις· ἀλλὰ ἀμφισβητή-
σιμον ἔσται σοι τὸ τῆς πράξεως πρὸς τὴν θεωρίαν;
ἐγὼ δὲ οὐδέτερον μὲν ἀφαιρῶ τῆς ἀρετῆς· ἀλλ' ἑκά-
τερον ἑκατέρῳ ἀνακεράσας, ἐπιμετρήσας τὶ ἐπὶ τούτοις
καὶ ἄλλο, τὸ ἐξ ἁπάντων ξυστὰν ἕτερον εἶναι φημὶ
e ἑκάστου, ἀφ' ὧν συνέστη· οἷον εἴ τις τὸ τοῦ ἀνθρώπου

---

ὥσπερ ἀνδριάντος, καὶ ἡ ἀθεώρητος ὥσπερ ὑγίεια, καὶ ἡ θεωρηματικὴ ὡς φρόνησις etiam III 100

**1** τὸν μὲν sq. cf. Diog. Laert. III 84 τῆς ἐπιστήμης εἴδη ἐστὶ τρία· τὸ μὲν γάρ ἐστι πρακτικόν· τὸ δὲ ποιητικόν· τὸ δὲ θεωρητικόν· ἡ μὲν γὰρ οἰκοδομικὴ καὶ ναυπηγικὴ ποιητικαί εἰσιν . . . πολιτικὴ δὲ καὶ αὐλητικὴ καὶ κιθαριστικὴ . . . πρακτικαί, . . . ἡ δὲ γεωμετρικὴ καὶ ἁρμονικὴ κἀστρολογικὴ θεωρητικαί sq. Sext. Emp. adv. math. IX 197 ‖ **16** οὐδέτερον . . ἀφαιρῶ τῆς ἀρετῆς sq. vi. or. 16. 5 d ὥστε καὶ σπονδὰς sq. ‖ **19** οἷον εἴ τις sq. vi. or. 17. 3 f

---

**1** (et 4 et 7) in mge α' (β' γ') cum R! (schol. vet. a) M ‖ **2** σώματι] σῶμά τι MNα(δΔ°) ‖ **3** ἢ οἷον] ὁποῖον Markl. ἢ del. Δ ‖ **5** ἀλλ' ⟨οἷον⟩ ἐν Markl. (Duebn.) ‖ **7** εἶδος, αὐτὸν α(δΔ) ‖ **8** ἄνευ in ras. R! | ἑαυτὸν α(δ) corr. Markl. | καὶ (ante περὶ) om. ϑ ‖ **9** αὐτὸν α(δΔ) ‖ **12** τούτων RMN δ' ὄντων φα(δ) ὄντων Δ ‖ **17** τὶ] τε H(Δ°)

σῶμα πῦρ εἶναι λέγοι, ἢ γῆν, ἢ ἀέρα, ἤ, νὴ Δία, ὕδωρ· εἴποιμι ἂν δήπου, ὡς οὔτε πῦρ ἐστιν τὸ σῶμα, οὔτε γῆ, οὔτε ἀήρ, οὔτε ὕδωρ· τὸ γὰρ ἐξ ἁπάντων μιχθὲν οὐκ ἔστιν ἕκαστον ἐκείνων, ἀφ' ὧν ἐμίχθη.

116a Πῶς οὖν | ἀρετὴ μετέχουσα θεωρίας καὶ πράξεως V a
οὐκ ἔστιν τέχνη; Ταύτῃ μοι λέγοντι ἐφέπου. Λέξω b
δὲ οὐκ ἐμαυτοῦ λόγον, ἀλλὰ ἐξ Ἀκαδημίας ὁρμηθέντα,
καὶ ἐπιχώριον τῆς Πλάτωνος μούσης τὲ καὶ ἑστίας·
ἀπεδέξατο δὲ αὐτὸν καὶ Ἀριστοτέλης αὐτῷ. Ἐγὼ δὲ c
καὶ πορρωτέρω ἐπανάγω· ὑποπτεύω γὰρ ἐξ Ἰταλίας
Ἀθήναζε ἐλθεῖν τὸν λόγον, Πυθαγορείων τινῶν ἐμ-
πορίαν ταύτην καλὴν στειλαμένων εἰς τὴν ἀρχαίαν
Ἑλλάδα. Ὁ δ' οὖν λόγος ταύτῃ ἔχει. Ἡ τοῦ ἀνθρώ- d
που ψυχὴ νενέμηται δίχα κατὰ πρώτην νομήν· καὶ τὸ
μὲν αὐτῆς ἐστιν λόγος, τὸ δὲ πάθος· τούτων δὲ ἑκά- e
τερον πονηρῶς ἔχον, καὶ κινούμενον ἀτάκτως, συλ-
λήβδην καλεῖται ὀνόματι ἑνὶ τῷ αἰσχίστῳ, κακία προσ-
αγορευόμενον. Γίγνονται δὲ αἱ πηγαὶ καὶ αἱ γενέσεις f
τοῦ αἰσχροῦ τούτου ἐκ τῆς θατέρου τῶν μορίων πλημ-
μύρας τὲ καὶ ἐπιρροῆς, ἐπειδὰν τὰ πάθη ζέσαντα ἐπι-

---

**15** *λόγος .. πάθος* quorum consensus *ἀρετή*, dissensio *κακία* cf. Metopus ap. Stob. fl. I 64 (Pythagoreorum) Theages ib. I 67—69 Themist. ib. I 87 Apul. dogm. Plat. III 5 Albin. 28 (Platonicorum) Stob. ecl. II 128 (peripateticorum) vi. etiam or. 20. 4 a ‖ **20** *τὰ πάθη ζέσαντα* sq. cf. Plat. Tim. 70 b *ὅτε ζέσειε τὸ τοῦ θυμοῦ μένος* sq.

---

**14** in mge *σημείωσαι περὶ τῶν | τῆς τοῦ ἀνθρώπου | ψυχῆς μερῶν* (schol. recent.) R!

---

**2** *σῶμα* (*ωμ* in ras.) R! ‖ **7** *ἀλλ' ἐξ* ς (*δΔ*) | *Ἀκαδημείας* Duebn. ‖ **9** *δ' αὐτὸν* ϑ | *αὐτῷ* (scil. 'sibi')] *αὐτὸς* α(*δΔ*) ‖ **11** *Πυθαγορίων* RM ‖ **11. 12** *ἐμπορίων* MN ‖ **12** *ταύτην* ⟨*τὴν*⟩ *καλὴν* Reiske ‖ **20**. p. 326. 1 *ἐπικλύσῃ* Markl. (Duebn.) *ἐπικαύσῃ* codd. (ϑ) quod defendi posse mecum censet Schenkl

κλύση τὴν ψυχήν, καὶ τὰς τοῦ λόγου βλαστήσεις τε
g καὶ ἐκφύσεις ἐπιταράξῃ. Καθάπερ τῶν ποταμῶν οἱ
χειμέριοι, ὑπὲρ τὰς νομίμους ὁδοὺς ἀναχεόμενοι ἐπὶ
γεωργίαν ἀροτοῦ καὶ φυτουργίας, ἐπεθόλωσαν τὴν
h σωτηρίαν τῶν ἔργων καὶ τὸν κόσμον, οὕτω καὶ ψυχὴ
ὑπὸ ἀμετρίας παθῶν ἐξίσταται τῶν λογισμῶν, καὶ δό-
ξαι τότε αὐτῇ ψευδεῖς καὶ πονηραὶ παρὰ τὴν αὑτῆς
φύσιν διανίστανται, αὐτὸ ἐκεῖνο τὸ τῶν μεθυόντων
πάθος· ἡ πλησμονὴ ἐπεγείρασα τὰ ἔνδον νοσήματα,
ὥσπερ ἐκ φωλεοῦ ἑρπετά, συγχεῖ τὸν νοῦν καὶ φθέγ-
γεσθαι προσαναγκάζει τὰς τῶν ἑρπετῶν τούτων φωνάς.
VIa Εἰ δέ σοι καὶ σαφεστέρας εἰκόνος δεῖ, ὀχλοκρασίᾳ
τινὶ εἰκαστέον τὴν τῆς ψυχῆς πονηρίαν· ἐπειδὰν πό-
λεως τὸ μὲν ἐπιεικὲς | πᾶν βιασθὲν δουλεύῃ, τὸ δὲ 116b
ἀνόητον καὶ παντοδαπὸν ἐπιχειρῇ ἄρχειν, ὑπὸ ἐξου-
b σίας ἀδεοῦς θρασυνόμενον· ἀνάγκη γάρ που τὴν τοι-
αύτην πόλιν πολύφωνόν τε εἶναι καὶ πολυμερῆ καὶ

---

**2.3** *ποταμῶν οἱ χειμέριοι* cf. Epict. fragm. 1 *ὁ τύχῃ βίος συμπεπλεγμένος ἔοικε χειμάρρῳ ποταμῷ* vi. etiam simil. or. 19. 2 o ‖ **5** *οὕτω καὶ* sq. vi. or. 10. 9 b; 21. 7 e ‖ **8** *αὐτὸ ἐκεῖνο τὸ τῶν μεθυόντων πάθος* = or. 10. 9 b *καρηβαρεῖ* sq. simil. etiam or. 30. 3 m ‖ **10** *ὥσπερ ἐκ φωλεοῦ ἑρπετά* vi. or. 7. 5 e etiam or. 37. 8 a ‖ **10.11** *φθέγγεσθαι προσαναγκάζει* sq. vi. or. 7. 5 e *βοῶντι συμβοᾷ* **12** *ὀχλοκρασίᾳ τινὶ* sq. cf. Theages ap. Stob. flor. 1. 65 vi. etiam or. 14. 8 d *ὅπου* sq. or. 7. 2 i ‖ **17** *πολύφωνον . . καὶ πολυμερῆ καὶ πολυπαθῆ* sq. vi. or. 7. 2 d; 15. 4 g *καθάπερ* sq.

---

**2** *καθάπερ* ⟨*γὰρ*⟩ *τῶν* Markl. (Duk.) ‖ **4** *γεωργαν* (suprascr. *ι*) R! *γεωργῶν* Reiske | *ἀροτοὺς* Reiske ‖ **5** *καὶ* ⟨*ἡ*⟩ *ψυχὴ* H(Δ) **7** *αὑτῆς* ς(δΔ°) ‖ **8** *διανίστανται* (*αν* in ras. ex *α*) R! ‖ **9** *πάθος* ⟨*οἷς*⟩ *ἡ* Markl. (Duk. Duebn.) | *ἡ* ⟨*γὰρ*⟩ *πλησμονὴ* Schenkl ‖ **12** *ὀχλοκρασίᾳ* R! (= *ὀχλοκρατίᾳ* „incorrectly" Sophocles greek lexicon s. v. ubi adfert Philon. I 696. 45 et Maximi hunc locum cuius notitiam nisi forte ex H vel alio codice Brittanico ipsis oculis inspecto sumpsit, quomodo adeptus sit non habeo qui explicem cum editores adhuc de eo tacuerint) *ὀχλοκρατίᾳ* cett. (δΔ) ‖ **15** in mge *σημείωσαι* M

πολυπαθῆ, καὶ μεστὴν παντοδαπῶν ἐπιθυμημάτων, ἀκόλαστον μὲν ἐν ἡδοναῖς, ἀκατάσχετον δὲ ἐν ὀργαῖς, ἄμετρον δὲ ἐν τιμαῖς, ἀστάθμητον δὲ ἐν εὐτυχίαις, δυσανάκλητον δὲ ἐν συμφοραῖς. Ὅταν Περικλῆς μὲν [c] οἴχηται, φεύγῃ δὲ Ἀριστείδης, ἀποθνήσκῃ δὲ Σωκράτης, ἀνίστηται δὲ Νικίας, ἐπιθυμῇ δὲ Κλέων μὲν Σφακτηρίας, Θρασύλλος δὲ Ἰωνίας, Ἀλκιβιάδης δὲ Σικελίας, καὶ ἄλλος ἄλλης γῆς ἢ θαλάττης, συνεπιθυμῇ δὲ αὐτῷ πλῆθος ἀργὸν καὶ ἄτακτον καὶ μισθοφόρον, πανταχοῦ ‖ περιφερόμενον, ἀνάγκη τὰς ἐπιθυμίας ταύτας δου- [Ed Duebn. p. 133] λείας γεννᾶν, καὶ συμφοράς, καὶ τυραννίδα, καὶ πάντα δὴ τὰ ἔκτοπα ὀνόματα. Εἰσὶν καὶ ἐν ψυχῇ δημαγωγοὶ [d] πονηροί, καὶ δῆμος ἀκόλαστος, Ἀλκιβιάδαι πολλοὶ καὶ Κλέωνες, τὴν δειλαίαν οὐκ ἐῶντες ψυχὴν ἀτρεμεῖν καὶ παραχωρεῖν τῷ ἐν αὐτῇ λόγῳ καὶ νόμῳ. Αὕτη τῆς ἐν ἀνθρώπῳ πολιτείας μοχθηρία·

Ἀρετὴ δέ, ἧσπερ εἵνεκεν τοὺς πολλοὺς λόγους κατ- [VII a] εστησάμεθα, ἔμπαλιν ἔχει, αὐτὸ ἐκεῖνο κατὰ τὴν Λακωνικὴν πολιτείαν, ἧς τὸ τοιοῦτο μὲν πλῆθος ἄρχεται, τὸ δὲ ὀλίγον καὶ ἐπιεικὲς ἄρχει· καὶ τὸ μὲν σώζει, τὸ δὲ σώζεται· καὶ τὸ μὲν προστάττει, τὸ δὲ πείθεται· τὸ δὲ ἐξ ἀμφοῖν ἔργον ἐλευθερία· ἑκάτερον δὲ ἑκατέρου ἐνδεές, καὶ τὸ ἄρχον τῶν ἀρχομένων, καὶ τὸ ἀρχόμενον

---

**1** μεστὴν παντοδαπῶν ἐπιθυμημάτων sq. vi. or. 16. 4 g ‖ **4** Περικλῆς vi. or. 7. 2 b ‖ **6. 7** Κλέων .. Σφακτηρίας .. Ἀλκιβιάδης .. Σικελίας vi. or. 7. 4 g ‖ **9** πλῆθος ἀργὸν sq. vi. or. 16. 4 g | μισθοφόρον vi. or. 24. 7 b ὁπλίτας ἀλλὰ sq. ‖ **14** τὴν δειλαίαν .. ψυχὴν sq. vi. or. 7. 4 f ‖ **18. 19** κατὰ τὴν Λακωνικὴν πολιτείαν vi. or. 16. 4 k

---

**4** δυσανάληπτον (vel δυσπαράκλητον) Dav.[2] δυσανάκτητον Markl. ‖ **6** Νικείας R ‖ **7** Θράσυλλος δΔ ‖ **10. 11** δουλίας R ‖ **11** τυραννίδας Reiske ‖ **19** τὸ τοιοῦτο RM τοιοῦτον N τὸ τοιοῦτον cett. (δΔ°) τὸ τοσοῦτον Markl.

b τῶν σωζόντων. Καὶ περὶ ψυχὴν τὴν ἔχουσαν καλῶς,
τὸν αὐτὸν τρόπον, σώζει μὲν ὁ λόγος, σώζεται δὲ | τὰ 117a
πάθη· καὶ μετρεῖ μὲν ὁ λόγος, μετρεῖται δὲ τὰ πάθη·
[καὶ τὸ μὲν σοφίαν] τὸ δὲ ἐξ ἀμφοῖν ἔργον ἐλευ-
c θερία. Τάττε δή μοι πᾶν, ὅσον θεωρητικὸν τέχνης
εἶδος, κατὰ τὸν λόγον· τὸ δὲ ὑπ᾽ αὐτοῦ κοσμούμενον
κατὰ τὰ πάθη· καὶ τὸ μὲν σοφίαν κάλει, ἐπιστήμην
d οὖσαν· τὸ δὲ ἀρετήν, ὑπὸ ἐπιστήμης γινόμενον. Ἐὰν
δὲ μεταθῇς τὰ ὀνόματα, καὶ τὴν ἐπιστήμην ἀρετὴν
καλῇς, ἐρήσομαί σε, ὑπὸ τίνος αὕτη γέγονεν· ἐκεῖνο
γὰρ ἔσται ἡ ἐπιστήμη, οὐ τὸ ὑπ᾽ αὐτῆς γενόμενον.

---

**1** *περὶ ψυχὴν* sq. vi. or. 16. 4 e cf. Iulian. II 87 d ‖ **8** *ἀρετήν, ὑπὸ ἐπιστήμης γινόμενον* sq. igitur vel *ἕξιν* cf. Stob. ecl. II 117 (peripatec.) vel *πρᾶξιν* ut or. 16. 5 c etiam or. 15. 7 c *εἰ δ᾽ ἔστιν* sq. cf. Muson. (Hense 22. 7) *ἡ ἀρετὴ ἐπιστήμη ἐστὶν οὐ θεωρητικὴ μόνον ἀλλὰ καὶ πρακτικὴ καθάπερ ἥ τε ἰατρικὴ καὶ ἡ μουσική* ‖ **9** *τὴν ἐπιστήμην* sq. intellege: „virtus (i. e. vita proba) non ex se ipsa gignitur, sed ex scientia, si igitur scientia eadem est atque virtus, necesse est eam aliunde oriri“ nam nulla aut scientia aut ars *ἑαυτῆς θεωρηματικὴ* cf. Stob. ecl. II 117 ib. II 130 Epict. diss. I 1. 1 Hierax ap. Stob. flor. 9. 58

---

**2** in mge infer. folii 117 a R! (schol. vet. a) N (vers. 1—3 et 6 et 7 rubr. colore)

| | |
|---|---|
| λόγος | πάθη |
| σώζει | σώζεται |
| μετρεῖ | μετρεῖται |
| πᾶν εἶδος θεωρητικὸν | πᾶν κοσμούμενον ὑπὸ |
| σοφία καὶ ἐπιστήμη | τοῦ θεωρητικοῦ· ἀρετή |

ἐξ ἀμφοῖν

ἐλευθερία

---

**2** *ὁ λόγος* (*ὁ* in ras.) R! ‖ **3** *καὶ* (ante *μετρεῖ*) om. *α*(*δ*) ‖ **4** [*καὶ τὸ μέν σοφίαν*] aberrante librarii oculo e vers. 7 huc intrusa uncis inclusit Hob. om. *φα*(*δΔ*) ‖ **4. 5** *ἐλευθερία*] *εὐδαιμονία* Markl. ‖ **5** *πανόσιον* N ‖ **7** *τὰ* (ante *πάθη*) om. N*α*(*δ*) corr. Markl. ‖ **8** *γενόμενον* nescio unde *ϑ* ‖ **9** *δὲ* ⟨*μὴ*⟩ *μεταθῇς* N*α*(*δ*) corr. Heins. *δέ μοι μεταθῇς* Steph. ‖ **11** *ἐπιστήμη* ⟨*τὸ ποιοῦν*⟩, *οὐ* Meiser | *οὐ τὸ* (*τὸ* in ras.) R!

Τέχνην τεχνῶν τὴν ἐπιστήμην καλεῖς; ἀκήκοα· ἐπι- e
στήμην ἐπιστημῶν; μανθάνω, καὶ ἀποδέξομαι τοῦ λό-
γου, ἐὰν ἕν τι μοι δῷς μικρὸν πάνυ. Τέχνην τεχνῶν f
τὴν τέχνην λέγε, ἐπιστήμην ἐπιστημῶν τὴν ἐπιστήμην
λέγε· ἀπαλλάγηθι τοῦ ἑτέρου μέρους, καὶ σπένδομαι
τῷ λόγῳ. Εἰ δὲ τὴν ἐπιστήμην φυλάττων καὶ ἐξαί- g
ρων τὰ πάθη, τὸ τούτων σχῆμα τῇ ἐπιστήμῃ δίδως,
ὅμοιον δρᾷς· εἴ τις τὴν Φειδίου φυλάξας τέχνην, τὴν
ὕλην ἀφελὼν προσθείη τῇ τέχνῃ τὸ τῆς τέχνης ὄνομα.
Ἐπιστήμην ἄρχειν βούλει βίου καλοῦ; 'Ἀρχέτω λόγος'. h
Ἄρχειν βούλει, ἔστω κοίρανος οὗτος εἷς,

(B 205) . . . . ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω·

ἀλλ' ἄρχει τίνων; τίνας αὐτῷ δίδως ὑπηρέτας; τίνας i
χειρουργοὺς τῶν πράξεων; τὸ σῶμα; εὐθὺς ὅρα τί k
δρᾷς· διαπηδᾷς τὴν τάξιν τῶν ἀρχομένων, ἀπὸ τοῦ
στρατηγοῦ ἐπὶ τοὺς σκευοφόρους. Οὐχ ὁρᾷς τὸν κόσ- l
μον; ὁ στρατηγός, εἶτα οἱ λοχαγοί· καὶ μετὰ τούτους
ἐνωμοτάρχαι· εἶτα οἱ ὁπλῖται, οἱ πελτασταί, οἱ τοξό-
ται· καταβαίνει ἠρέμα ἡ ὑπηρεσία ἀπὸ τοῦ ὅλου, ἀπὸ
τῶν ἀρίστων ἐπὶ τὰ φαυλότατα.

---

**1** τέχνην τεχνῶν vel ἐπιστήμην ἐπιστημῶν scil. philosophiae definitionem (Aristotelicam si fides est anonymo ap. Cramer. anecd. Par. IV 400) cf. Iulian. VI 183 a Themist. 23. 300 a || **11** ἔστω κοίρανος sq. vi. or. 33. 3 c || **19. 20** ἀπὸ τοῦ ὅλου . . ἐπὶ τὰ φαυλότατα vi. or. 9. 1 d καὶ διὰ τούτων sq. etiam or. 40. 2 a

---

**3** δῶς R | τέχνην] οὐ τέχνην Reiske || **4** ⟨καὶ⟩ ἐπιστήμην α(δ) ⟨οὐδ'⟩ ἐπιστήμην Reiske || **5** ⟨ἀλλ'⟩ ἀπαλλάγηθι Reiske || **8** δρᾷς ⟨ὡς⟩ εἴ ς(δΔ) || **9** τὸ τῆς τέχνης R τὸ τῆς ὕλης cett. (δΔ) || **10** καλοῦ; ⟨οὔ (μὴ·)⟩ ἀρχέτω Markl. (Reiske) Duebn. || **10. 11** λόγον ἄρχειν Markl. Reiske λόγος· λόγον ἄρχειν Duk. ἄρχειν del. Meiser || **11** βούλει del. Meiser || **12** ἔδωκε (ω in ras.) R! | πάϊς Homerus || **18** ἐνωμοτάρχαι] οἱ νομοτάρχαι H οἱ ἐνωμοτάρχαι Dav.[2] (Duebn.) | εἶτα ὁπλῖται (suprascr. οἱ) R! || **19** ἠρέμαι R! | ὅλου

(VIII)a Ἀλλ᾽ ὁρῶ τὸ πρόχειρον δὴ τοῦτο. Ὁ θεὸς οἰκο-
νομεῖ τὸ πᾶν τοῦτο | καλῶς καὶ τεχνικῶς καὶ ἐπιστη- 117b
μόνως· τί δὲ οὐ μέλλει; Τί οὖν μᾶλλον ἡ ἐπιστήμη,
b ἢ ἀρετή; εἰ μὲν γὰρ τὴν ἐπιστήμην τοῦ θεοῦ ἀρετὴν
καλῇς, οὐ νεμεσῶ τῶν ὀνομάτων· οὐ γάρ ἐστιν θεῷ,
καθάπερ ἀνθρώπῳ, τῆς ψυχῆς τὸ μὲν ἄρχον, τὸ δὲ
ἀρχόμενον· ἀλλ᾽ ἁπλοῦν τὸ θεῖον, αὐτὸ ὅ, τι περ νοῦς
c καὶ ἐπιστήμη καὶ λόγος. Εἰ δὲ ἐν τῇ κράσει τοῦ
Ed. Duebn. p. 134 κρείττονος πρὸς τὸ χεῖ||ρον, τὸ τοῦ ἀρχομένου ὄνομα
μετατίθῃς πρὸς τὸ κρεῖττον, μέχρι μὲν τῆς φωνῆς
d ἀνέχομαι, τὸ δὲ πρᾶγμα οὐ δίδωμι. Ἀρετὴν τὴν ἐπι-
στήμην, εἰ βούλει, κάλει, ἀλλ᾽ ἐπιστήμην τὴν ἀρετὴν
μὴ κάλει. Καὶ γὰρ ψευδὴς ὁ λόγος καὶ ἐπισφαλής,
e νὴ Δία. Εἴ τις ἔσται τοῖς ἀνθρώποις πίστις, ὅτι
θεωρημάτων ἀριθμοὶ καὶ μαθήματα ἄττα ἐπὶ τὴν ψυ-
χὴν ἐλθόντα τὴν ἀρετὴν αὐτοῖς συνεισάγει, πολλοῦ
μέντ᾽ ἂν ἦν ἄξιον τὸ τῶν σοφιστῶν γένος, τὸ πολυ-
μαθὲς τοῦτο καὶ πολύλογον καὶ πολλῶν μεστὸν μαθη-

---

**1. 2** ὁ θεὸς . . . οἰκονομεῖ sq. vi. or. 8. 8 a ‖ **4** τὴν ἐπιστήμην τοῦ θεοῦ ἀρετὴν vi. simil. or. 6. 7 b ‖ **6** τῆς ψυχῆς τὸ μὲν ἄρχον, τὸ δὲ ἀρχόμενον scil. λόγος et πάθος vi. or. 20. 4 a sq. ‖ **7** τὸ θεῖον sq. cf. Epict. diss. II 8. 2 οὐσία . . θεοῦ νοῦς, ἐπιστήμη, λόγος ὀρθός vi. etiam or. 11. 8 g sq. ‖ **17** τὸ τῶν σοφιστῶν γένος vi. or. 30. 1 d ‖ **18** πολλῶν μεστὸν μαθημάτων καπηλεῦον ταῦτα sq. cf. Plat. Prot. 313 c ὁ σοφιστὴς τυγχάνει ὢν ἔμπορός τις ἢ κάπηλος τῶν ἀγωγίμων et soph. 231 d ἔμπορος τις περὶ τὰ τῆς ψυχῆς μαθήματα

---

⟨ἐπὶ τὸ μέρος (τὰ μέρη)⟩ ἀπὸ Markl. (Duk.) lacunam asteriscis indicavit Duebn. ἐπὶ τοῖς ὅλοις ἐπὶ τὰ ἔσχατα· ἀπὸ Reiske ἀπὸ del. Meiser nil mutandum esse censet Schenkl

**3** μᾶλλον om. α(δ) οὐκ ἄλλο Combes ‖ **3. 4** ἡ ἐπιστήμη, ἢ Dav.² ἢ ἐπιστήμη ἡ Markl. (Duebn.) ἐπιστήμη ἢ Duk. ‖ **5** καλεῖς ς(δ Δ) ‖ **6** τὸ - μὲν R! ‖ **7** ὅ,τιπερ] ὥσπερ Heins. διόπερ Dav.² ὅ,τι πέρ ἐστι Reiske ‖ **10** μὲν in ras. R! ‖ **11** ⟨τὴν⟩ ἀρετὴν α(δ) ‖ **12** ἀλλ᾽] τὴν δὲ α(δ) om. MN ‖ **15** θεωρηματικῶν Reiske | ἀριθμὸς Markl. ἀριθμῶν Meiser ‖ **16** αὐτοῖς α(δ Δ°) ‖ **17** σοφι÷÷στῶν R! ‖ **18** πολυλόγον ς(δ Δ) | μεστοῦ M μεστῶν N

μάτων, καπηλεῦον ταῦτα, καὶ ἀπεμπολοῦν τοῖς δεο-
μένοις· ἀγορὰ πρόκειται ἀρετῆς, ὤνιον τὸ χρῆμα.
Εἰ δ' οἱ μὲν λόγοι σαφεῖς καὶ πρόχειροι, καὶ μεστὰ IXa
πάντα διδασκάλων καὶ μαθημάτων, ἀντιτυπεῖ δὲ ἔν-
δοθεν ταῖς τῶν λόγων ὁδοῖς παθήματα χαλεπὰ καὶ
ἄγρια, καὶ ἐθισμοὶ φαῦλοι, καὶ ἀσκήσεις ἄδικοι, καὶ
ἐπιθυμίαι ἀλλόκοτοι, καὶ τροφαὶ πονηροί, ἐνθυμητέον,
ὅτι 'φύσεως δεῖ πρῶτον χρηστῆς, ὥσπερ κρηπῖδος ἀν- b
ισταμένῳ τειχίῳ· καὶ μετὰ τοῦτο τροφῆς καὶ ἔθους
πρὸς σωτηρίαν τῆς φύσεως· ὑφ' ὧν φιλία τῇ ψυχῇ
ἐγγίγνεται πρὸς τὰ καλὰ πάντα, συντρεφομένη τοῖς
χρόνοις, καὶ συνθέουσα ταῖς ἡλικίαις· ἐπὶ δὲ τούτοις
118a προσελθεῖν δεῖ τέχνην ἐπισφραγιζομένην βεβαιό|τητι
τὰ τῶν παθῶν μέτρα.' Οὕτω γίγνεται εὐδαίμων ψυχή, c
καὶ βίος ὑγιής, καὶ δόξαι ὀρθαί, ὑπὸ ἁρμονίας καὶ
κράσεως συντεττόμεναι. Ταῦτα νομοθετεῖ θεός, ταῦτα (d)
ἀποφαίνει ἄνδρα ἀγαθόν· ἀγωγὴ παθῶν ὑπὸ τοῦ λό-
γου, καὶ πειθαρχία πρὸς ἐπιστήμην ἑκούσιος· μοχθηρία
δὲ χρῆμα ἀκούσιον, ὑφ' ἡδονῆς ἑλκόμενον.

2 ἀγορὰ πρόκειται, ὤνιον τὸ χρῆμα = or. 5. 7 d cf. Plut. aud. poet. 6 καθάπερ ὤνιον εὐθὺς ἀργυρίου τὴν ἀρετὴν ἔχοντας ‖ **3. 4** μεστὰ πάντα διδασκάλων vi. or. 1. 8 a vi. etiam or. 23. 6 b; 26. 2 g; 35. 3 b al. ‖ 8 φύσεως .. τροφῆς .. ἔθους vi. or. 10. 4 d et quae ibi composui | ὥσπερ κρηπῖδος sq. = or. 1. 5 d ‖ **13** τέχνην vel λόγον vi. or. 10. 4 d vel ἔρωτα vi. or. 1. 5 e ‖ **15** δόξαι ὀρθαί vi. or. 24. 3 h βιοτεῦον sq. ‖ **18** πειθαρχία .. ἑκούσιος, μοχθηρία δὲ .. ἀκούσιον cf. Albin. 31 Apul. dogm. Plat. II 11 Hipp. (Diels 569. 20) Senec. de ira I 14 Epict. diss. I 26. 6 τί δοκεῖς; ὅτι θέλων περιπίπτω κακῷ sq.

**3** λόγοιαφεῖς (suprascr. σ) R! ‖ **4** διδασκαλιῶν Markl. | ἀντικτυπεῖ Markl. ‖ **4. 5** ἔνδοθεν (δο in ras.) R! ‖ **5** ταῖς] τοῖς Meiser | ὁδοῖς] ᾠδαῖς Clericus (silv. philol. II 166) ῥόθοις Meiser ‖ **11** ἐγγίγνεται RH γίγνεται cett. (δ) | τὰ καλὰ RH (pr. man.) τὰ ἴδια καλὰ cett. (δ) | συστρεφομένη ς(δ Δ°) corr. Markl. ‖ **14** τὰ τῶν om. M τῶν om. ς(δ Δ°) ‖ **17** ἀγωγὸν ς(δ) ‖ **19** χρῆμα RH πρᾶγμα cett. (δ)